www.tezaurliturgic.ro

# Σεπτεμβρίου ς΄.

## ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΓΕΓΟΝΟΤΟΣ ΕΝ ΚΟΛΟΣΣΑΙΣ ΘΑΥΜΑΤΟΣ ΗΤΟΙ ΕΝ ΧΩΝΑΙΣ ΠΑΡΑ ΤΟΥ ΠΑΜΜΕΓΙΣΤΟΥ ΤΑΞΙΑΡΧΟΥ ΜΙΧΑΗΛ.

Ποίημα Χαραλάμπους Μπούσια.

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς προσόμοια·

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.

Μιχαὴλ ἀρχιστράτηγε οὐρανίων Δυνάμεων, ὁ ἐκ ποταμίου τὸ πάλαι ῥεύματος σώσας Ναόν σου τὸν ἅγιον, φωσφόρε Ἀρχάγγελε, ἐν ἐνδόξοις Κολοσσαῖς, δι' ὑδάτων χωνεύσεως ξένης, ἄϋλε, εἰς ὀπὴν ὑπὸ σοῦ διανοιγεῖσαν ἐν τῇ γῇ, θαυματοβρῦτα, χαῖρε, προστάτα προσφύγων σου.

Μιχαὴλ ἀρχιστράτηγε, τὸν Ναόν σου τὸν πάνσεπτον βλύζοντα σῆς χάριτος ὕδωρ ἄφθονον ἐν Χώναις πάντων πρὸς ἴασιν νοσούντων ἠθέλησαν ἐδαφίσαι φθονεροὶ καὶ πρὸς τοῦτο τὰ ῥεύματα τὰ ποτάμια κατ' αὐτοῦ, Ἄρχον, ἔστρεψαν, τῶν Νόων τῶν παμφώτων, ὃν ἡ χάρις ξένως ἡ θεία σου ἔσωσεν.

Νεωκόρον κατηύφρανας τὸν πανόσιον Ἄρχιππον τοῦ σεπτοῦ Ναοῦ σου καὶ ἁγιάσματος ἐν Χώναις χαριτοβρύτου σου, Ὑψίστου Ἀρχάγγελε, Μιχαὴλ φωτολαμπές, τρόπῳ σῆς ἐπεμβάσεως πρὸς διάσωσιν τούτου μήνιος ἐκ τῶν μισοχρίστων, ὁ φρουρῶν καὶ προστατεύων τοὺς αἰτουμένους τὴν χάριν σου.

Μιχαήλ, τῇ σῇ χάριτι ποταμοῦ, Ἀρχιστράτηγε, πόῤῥω τοῦ Ναοῦ σου τὸν ῥοῦν ἠκόντισας καὶ εὐφροσύνης ἐνέπλησας τὸν Ὅσιον Ἄρχιππον, προσμονάριον σεπτὸν ἱεροῦ ἁγιάσματος σοῦ, Ἀρχάγγελε, Κολοσσαῖς ἐν Φρυγίας, καὶ ἁπάντων εὐσεβῶν ἀναβοώντων· Χαῖρε, πιστῶν φύλαξ ἄγρυπνε.

Δόξα. Ἦχος β΄.

Παμμέγιστε Μιχαήλ, Ταχιάρχα στρατιῶν τῶν οὐρανίων, ὁ ἀπεργασάμενος φρέαρ ἰάσεων τὸν ἐν Κολοσσαῖς Ναόν σου καὶ διασώσας αὐτὸν ἐξ ὀλεθρίου ποταμίου ῥεύματος, ἐπάκουσον ἡμῶν νῦν σοῦ δεομένων καὶ εὐλαβῶς βοώντων· Ἀρχιστράτηγε τῶν ὑπερφώτων Νόων, διάσωσον ἀπὸ κινδύνων καὶ θλίψεων τοὺς ἐπικαλουμένους σε καὶ γενοῦ ἡμῖν βοηθὸς ἐν τῇ φρικτῇ ἡμέρᾳ τῆς Ἐτάσεως.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μήτηρ τῆς ζωῆς, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Χαίροις, ἐν Κολοσσαῖς ἐκ ποταμοῦ ὑδάτων Ναὸν ὁ διασώσας, Τριάδος παραστάτα, ὦ Μιχαὴλ Ἀρχάγγελε.

Στίχ. Ὁ ποιῶν τοὺς Ἀγγέλους Αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς Αὐτοῦ πυρὸς φλόγα.

Κρήνην τὸν σὸν Ναὸν ἀνέδειξας θαυμάτων ἐν Κολοσσαῖς παντοίων, ὁ κόσμου κατευθῦντορ, ὦ Μιχαήλ, πρὸς θέωσιν.

Στίχ. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον Αὐτοῦ.

Σκέπασον, Μιχαήλ, ἐν σκέπῃ σῶν πτερύγων τοὺς καταφεύγοντάς σοι καὶ σῶσον ἐκ θανάτου ἡμᾶς διαιωνίζοντος.

Δόξα. Τριαδικόν.

Δεῖξον ἡμῖν ἀεί, Τριὰς ὑπεραγία, τὴν χάριν Σου πρεσβείαις τοῦ Μιχαήλ, Πνευμάτων ἀΰλων Σου ἐξάρχοντος.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε, ἡμῶν χαρά, καταφυγὴ καὶ σκέπη, σεμνὴ Θεογεννῆτορ, ἡ δούλους σου ἐν βίῳ ἀπαύστως περισκέπουσα.

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῇ τρισαυγεῖ Θεαρχίᾳ τὸν παριστάμενον πρωτάγγελον ἐκθύμως εὐφημήσωμεν πάντες, κραυγάζοντα σὺν πάσαις ταῖς στρατιαῖς τῶν ἀΰλων δυνάμεων Αὐτῇ τρισάγιον ὕμνον, φωτοειδῆ Μιχαήλ, τὸν Ἀρχιστράτηγον.

Τὸν διερχόμενον φύσει ἀΰλῳ σύμπαντα καὶ προσταγὰς πληροῦντα οἰκουμένης τοῦ Κτίστου, Ἀρχάγγελον, ἐν ὕμνοις νῦν, Μιχαήλ, γνωριζόμενον ἅπασιν ἐν τῇ ἰσχύϊ καὶ σθένει αὐτοῦ λαμπρῶς οἱ πιστοὶ ἀνευφημήσωμεν.

Σέ, Μιχαήλ, οὐρανίων Νόων ὑπέρτερε, ἀνευφημοῦντες πάντες μεγαλύνομεν πίστει νῦν Ἄρχιππον, τὸν μέγαν ἐν ἀσκηταῖς, σοῦ Ναοῦ προσμονάριον ἐν Κολοσσαῖς, ὃν διέσωσας ποταμοῦ ἐκ τοῦ ῥεύματος σῇ χάριτι.

Ἐκ τῶν δεσμῶν ἀφωνίας Ἱεραπόλεως πλουσίου θυγατέρα, Μιχαὴλ Ταξιάρχα, λυτρώσας πρὸς Ναοῦ σου ἐν Κολοσσαῖς τὴν ἀνέγερσιν ἤγειρας αὐτὸν καὶ θεῖον τῷ ὄντι εὐπρεπισμὸν σοῦ τοῦ ξένου ἁγιάσματος.

Ἐκκλησιάρχου Ἀρχίππου, θεῖε Ἀρχάγγελε, τοῦ ἐγκρατοῦς, ὁσίου, νηστευτοῦ καὶ πραέως, μὴ φέροντες τὸ ὕψος τῆς ἀρετῆς καθορᾶν οἱ μισόθεοι κατὰ Ναοῦ σου πρὸς τούτου ἀφανισμὸν ῥεῦμα ἔστρεψαν ποτάμιον.

Τὰς δυναστείας Κυρίου τίς διηγήσεται καὶ τὴν ἰσχὺν καὶ δόξαν Μιχαὴλ Ταξιάρχου; Τὸ ῥεῦμα γὰρ ἐχώθη τοῦ ποταμοῦ εἰς ὀπήν, ἣν ἀκόντιον τοῦ Ἀρχαγγέλου διήνοιξεν ἐν τῇ γῇ φοβηθὲν αὐτοῦ τὴν δύναμιν.

Σὲ Ἀστερίου ἡ Μάνδρα, ἥνπερ ἡγίασε Λουκᾶς ὁ ἐν Στειρίῳ, Μιχαήλ, Πρωτοστάτα Δυνάμεων τῶν Ἄνω πανευλαβῶς μεγαλύνει σε σήμερον καὶ θαυμασίων σου πλῆθος τῶν ὑπὲρ νοῦν καθομολογεῖ τοῖς πέρασι.

Φερώνυμόν σου Σεμνεῖον ἀρχαῖον σήμερον ἐν Ὑμηττῷ, Στρατάρχα Μιχαήλ, Ἀστερίου τὴν κλῆσιν ἔχον, ἄγει λαμπρῶς τὴν ἐπέτειον θαύματος τοῦ σοῦ ἐν Χώναις, καὶ σπεύδει τὰς σὰς εὐχὰς ἐκζητῆσαι πρὸς τὸν Ὕψιστον.

Δόξα. Ἦχος πλ. β΄.

Διαφυλάξας τὸν σὸν ἐν Κολοσσαῖς Ναὸν ὡς κιβωτὸν ἄλλην ἐκ τῶν ποταμίων ῥευμάτων, Μιχαὴλ Ἀρχιστράτηγε, πηγὴν αὐτὸν ἀνέδειξας ἰαμάτων παντοίων καὶ φρέαρ θαυμασίων ἀστείρευτον· ὅθεν μελῳδικῶς ἀνευφημοῦντές σε, Ταξιάρχα, σὺν Ἀρχίππῳ, τῷ Ὁσίῳ νεωκόρῳ σου σὴν χάριν ἐξαιτούμεθα, πρὸς ἁγιασμὸν τῆς ζωῆς ἡμῶν καὶ τέλος μακάριον.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογε-νής, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆ-ναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Ἰησοῦ τοῦ Ναυῆ τὸ Ἀνάγνωσμα. (Κεφ. ε΄ 13 - 15 )

Ἐγένετο ὡς ἦν Ἰησοῦς ἐν Ἱεριχῷ, ἀναβλέψας τοῖς ὀφθαλμοῖς αὐτοῦ, εἶδεν ἄνθρωπον ἑστηκότα ἐναντίον αὐτοῦ καὶ ἡ ῥομφαία ἐσπασμένη ἐν τῇ χειρὶ αὐτοῦ· καὶ προσελθὼν Ἰησοῦς εἶπεν αὐτῷ· Ἡμέτερος εἶ ἢ τῶν ἐναντίων; ὁ δὲ εἶπεν αὐτῷ· Ἐγὼ Ἀρχιστράτηγος δυνάμεως Κυρίου νυνὶ παραγέγονα· καὶ Ἰησοῦς ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν καὶ εἶπεν αὐτῷ· Δέσποτα, τί προστάσσεις τῷ σῷ οἰκέτῃ ; Καὶ εἶπεν ὁ Ἀρχιστράτηγος Κυρίου πρὸς Ἰησοῦν· Λῦσον τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος, ἐφ' ᾧ σὺ ἕστηκας ἐπ' αὐτοῦ ἅγιός ἐστι· καὶ ἐποίησεν Ἰησοῦς οὕτως.

Κριτῶν τὸ Ἀνάγνωσμα. (Κεφ. στ΄ 11 - 24 )

Ἐγένετο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ κατίσχυσε Μαδιὰμ ἐπὶ τοὺς υἱοὺς Ἰσραὴλ καὶ αὐτοὶ

ἐβόησαν πρὸς τὸν Θεόν· καὶ ἰδοὺ ἄγγελος Κυρίου παρεγένετο καὶ ἐκάθισεν ὑπὸ τὴν δρῦν, τὴν οὖσαν ἐν Ἐφραθᾶ, τὴν τοῦ Ἰωάς· καὶ Γεδεὼν ὁ υἱὸς αὐτοῦ ἐῤῥάβδιζε πυροὺς ἐν ληνῷ καὶ ἔσπευδε τοῦ ἐκφυγεῖν ἀπὸ προσώπου Μαδιάμ. Καὶ ὤφθη αὐτῷ ἄγγελος Κυρίου καὶ εἶπεν πρὸς αὐτόν· Κύριος μετὰ σοῦ δυνατὸς τῇ ἰσχύϊ. Καὶ εἶπεν πρὸς αὐτὸν Γεδεών· Ἐν ἐμοί, Κύριέ μου· καὶ εἶ ἔστι Κύριος μεθ' ἡμῶν, ἵνα τί εὗρεν ἡμᾶς τὰ κακὰ ταῦτα; Καὶ ποῦ ἐστι πάντα τὰ θαυμάσια αὐτοῦ, ὅσα διηγήσαντο ἡμῖν οἱ πατέρες ἡμῶν, λέγοντες· Οὐχὶ ἐξ Αἰγύπτου ἀνήγαγεν ἡμᾶς Κύριος; Καὶ νῦν ἀπώσατο ἡμᾶς καὶ παρέδωκεν ἡμᾶς ἐν χειρὶ Μαδιάμ. Καὶ ἐπέβλεψε πρὸς αὐτοὺς ὁ Ἄγγελος Κυρίου καὶ εἶπεν αὐτῷ· Πορεύου ἐν τῇ ἰσχύϊ σου ταύτῃ καὶ σώσεις τὸν Ἰσραὴλ ἐκ χειρὸς Μαδιάμ· ἰδοὺ ἐξαπέστειλά σε. Καὶ εἶπε πρὸς αὐτὸν Γεδεών· Ἐν ἐμοί, Κύριε, ἐν τίνι σώσω τὸν Ἰσραήλ; Ἰδοὺ ἡ χιλιάς μου ταπεινοτέρα ἐν Μανασσῇ καὶ ἐγώ εἰμι μικρότερος ἐν τῷ οἴκῳ τοῦ πατρός μου. Καὶ εἶπε πρὸς αὐτὸν ὁ Ἄγγελος Κυρίου· Κύριος ἔσται μετὰ σοῦ καὶ πατάξεις τὸν Μαδιὰμ ὡσεὶ ἄνδρα ἕνα. Καὶ εἶπε πρὸς αὐτὸν Γεδεών· Εἰ εὗρον χάριν ἐν ὀφθαλμοῖς σου καὶ ποιήσεις μοι σήμερον πᾶν ὅ,τι λαλεῖς μετ' ἐμοῦ, μὴ δὴ χωρισθῇς ἐντεῦθεν, ἕως τοῦ ἐλθεῖν με πρὸς σὲ καὶ οἴσω τὴν θυσίαν μου καὶ θύσω ἐνώπιόν σου. Καὶ εἶπεν· Ἐγώ εἰμι, καθήσομαι ἕως τοῦ ἐπιστρέψαι σε. Καὶ Γεδεὼν εἰσῆλθε καὶ ἐποίησεν ἔριφον αἰγῶν καὶ οἰφὶ ἀλεύρου ἄζυμα· καὶ τὰ κρέα ἔθηκεν ἐν τῷ κοφίνῳ καὶ τὸν ζωμὸν ἔβαλεν ἐν τῇ χύτρᾳ καὶ ἐξήνεγκεν αὐτὰ πρὸς αὐτὸν ὑπὸ τὴν δρῦν καὶ προσήγγισε. Καὶ εἶπε πρὸς αὐτὸν ὁ Ἄγγελος Κυρίου· Λάβε κρέα καὶ τοὺς ἄρτους τοὺς ἀζύμους καὶ θὲς πρὸς τὴν πέτραν ἐκείνην καὶ τὸν ζωμὸν ἐχόμενα ἔκχεε· καὶ ἐποίησεν οὕτω. Καὶ ἐξέτεινεν ὁ Ἄγγελος τὸ ἄκρον τῆς ῥάβδου τῆς ἐν τῇ χειρὶ αὐτοῦ καὶ ἥψατο τῶν κρεῶν καὶ τῶν ἀζύμων καὶ ἀνήφθη πῦρ ἐκ τῆς πέτρας καὶ κατέφαγε τὰ κρέα καὶ τοὺς ἀζύμους· καὶ ὁ Ἄγγελος Κυρίου ἐστὶ καὶ εἶπε Γεδεών· Οἴμοι, Κύριε, Κύριε ! ὅτι εἶδον τὸν Ἄγγελον Κυρίου πρόσωπον πρὸς πρόσωπον. Καὶ εἶπεν αὐτῷ Κύριος· Εἰρήνη σοι, μὴ φοβοῦ, οὐ μὴ ἀποθάνῃς. Καὶ ᾠκοδόμησεν ἐκεῖ Γεδεὼν θυσιαστήριον τῷ Κυρίῳ καὶ ἐκάλεσεν αὐτό, Εἰρήνη Κυρίου, ἕως τῆς ἡμέρας ταύτης.

Δανιὴλ τὸ Ἀνάγνωσμα. (Κεφ. ι΄ 1 - 14 )

Ἐν ἔτει τρίτῳ Κύρου τοῦ βασιλέως Περσῶν λόγος ἀπεκαλύφθη τῷ Δανιήλ, οὗ τὸ ὄνομα ἐπεκλήθη Βαλτάσαρ· καὶ ἀληθινὸς ὁ λόγος καὶ δύναμις μεγάλη καὶ σύνεσις ἐδόθη αὐτῷ καὶ ὀπτασία. Ἐν ταῖς ἡμέραις ἐκείναις ἐγὼ Δανιὴλ ἤμην πενθῶν τρεῖς ἑβδομάδας ἡμερῶν. Καὶ ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγον καὶ κρέας καὶ οἶνος οὐκ εἰσῆλθεν ἐν τῷ στόματί μου καὶ ἄλειμμα οὐκ ἠλειψάμην, ἕως πληρώσεως τριῶν ἑβδομάδων ἡμερῶν. Καὶ ἐν ἡμέρᾳ εἰκοστῇ τετάρτῃ τοῦ μηνὸς τοῦ πρώτου, ἐν τῷ τρίτῳ ἔτει, ἐγὼ ἤμην ἐχόμενα τοῦ ποταμοῦ τοῦ μεγάλου, οὗτός ἐστι Τίγρις. Καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον καὶ ἰδοὺ ἀνὴρ εἷς ἐνδεδυμένος βαδδὶν καὶ ἡ ὀσφὺς αὐτοῦ περιεζωσμένη χρυσίῳ Ὠφάζ· καὶ τὸ σῶμα αὐτοῦ ὡσεὶ Θαρσὶς καὶ τὸ πρόσωπον αὐτοῦ ὡσεὶ ὅρασις ἀστραπῆς καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡσεὶ λαμπάδες πυρὸς καὶ οἱ βραχίονες αὐτοῦ καὶ τὰ σκέλη, ὡς ὅρασις χαλκοῦ στίλβοντος καὶ ἡ φωνὴ τῶν λόγων αὐτοῦ ὡς φωνὴ ὄχλου. Καὶ εἶδον ἐγὼ Δανιὴλ μόνος τὴν ὀπτασίαν καὶ οἱ ἄνδρες οἱ μετ' ἐμοῦ οὐκ εἶδον· ἀλλ' ἡ ἔκστασις μεγάλη ἐπέπεσεν ἐπ' αὐτοὺς καὶ ἔφυγον ἐν φόβῳ. Καὶ ἐγὼ ὑπελείφθην μόνος καὶ εἶδον τὴν ὀπτασίαν τὴν μεγάλην ταύτην καὶ οὐχ ὑπελείφθη ἐν ἐμοὶ ἰσχὺς καὶ ἡ δόξα μου μετεστράφη εἰς διαφθορὰν καὶ οὐκ ἐκράτησα ἰσχύος. Καὶ ἤκουσα τὴν φωνὴν τῶν λόγων αὐτοῦ· καὶ ἐν τῷ ἀκοῦσαί με φωνὴν ῥημάτων αὐτοῦ ἤμην κατανενυγμένος ἐπὶ πρόσωπόν μου ἐπὶ τὴν γῆν. Καὶ ἰδοὺ χεὶρ ἁπτομένη μου καὶ ἤγειρέ με ἐπὶ τὰ γόνατά μου καὶ ταρσοὺς χειρῶν μου. Καὶ εἶπε πρός με· Δανιήλ, ἀνὴρ ἐπιθυμιῶν, σύνες ἐν τοῖς λόγοις, οἷς ἐγὼ λαλῶ πρὸς σὲ καὶ στῆθι ἐπὶ τῇ στάσει σου, ὅτι νῦν ἀπεστάλην πρὸς σέ· καὶ ἐν τῷ λαλῆσαι αὐτὸς πρός με τὸν λόγον τοῦτον, ἀνέστην ἔντρομος. Καὶ εἶπε πρός με· Μὴ φοβοῦ, Δανιήλ, ὅτι ἀπὸ τῆς ἡμέρας τῆς πρώτης, ἧς ἔδωκας τὴν καρδίαν σου συνιέναι καὶ κακωθῆναι ἔναντι Κυρίου τοῦ Θεοῦ σου, ἠκούσθησαν οἱ λόγοι σου καὶ ἐγὼ ἦλθον ἐν τοῖς λόγοις σου. Καὶ ὁ ἄρχων τῆς βασιλείας Περσῶν εἱστήκει ἐξεναντίας μου εἴκοσι καὶ μίαν ἡμέραν· καὶ ἰδοὺ Μιχαήλ, εἷς τῶν Ἀρχόντων τῶν πρώτων, ἦλθε βοηθῆσαί μοι καὶ αὐτὸν κατέλιπον ἐκεῖ μετὰ τοῦ Ἄρχοντος βασιλείας Περσῶν. Καὶ ἦλθον συνετίσαί σε

ὅσα ἀπαντήσει τῷ λαῷ σου ἐπ' ἐσχάτων τῶν ἡμερῶν· ὅτι ἔτι ἡ ὅρασις εἰς ἡμέρας. Καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμοῦ κατὰ τοὺς λόγους τούτους ἔδωκα τὸ πρόσωπόν μου ἐπὶ τὴν γῆν καὶ κατενύγην. Καὶ ἰδοὺ ὡς ὁμοίωσις υἱοῦ ἀνθρώπου ἥψατο τῶν χειλέων μου· καὶ ἤνοιξα τὸ στόμα μουκαὶ ἐλάλησα καὶ εἶπα πρὸς τὸν ἑστῶτα ἐναντίον μου· Κύριε, ἐν τῇ ὀπτασίᾳ σου ἐστράφη τὰ ἐντός μου ἐν ἐμοὶ καὶ οὐκ ἔσχον ἰσχύν. Καὶ πῶς δυνήσεται ὁ παῖς σου, Κύριε, λαλῆσαι μετὰ τοῦ Κυρίου μου τούτου; Καὶ ἀπὸ τοῦ νῦν οὐ στήσεται ἐν ἐμοὶ ἰσχύς καὶ πνοὴ οὐχ ὑπελείφθη ἐν ἐμοί. Καὶ προσέθετο καὶ ἥψατό μου ὡς ὅρασις ἀνθρώπου καὶ ἐνίσχυσέ με καὶ εἶπέ μοι· Μὴ φοβοῦ, ἀνὴρ ἐπιθυμιῶν, εἰρήνη σοι· ἀνδρίζου καὶ ἴσχυε. Καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμοῦ ἴσχυσα καὶ εἶπα· Λαλείτω ὁ Κύριός μου, ὅτι ἐνίσχυσάς με. Καὶ εἶπεν· Εἰ οἶδας ὅτι ἦλθον πρός σε; Καὶ νῦν ἐπιστρέψω τοῦ πολεμῆσαι μετὰ τοῦ Ἄρχοντος Περσῶν· καὶ ἐγὼ ἐξεπορευόμην καὶ ὁ ἄρχων τῶν Ἑλλήνων ἤρχετο. Ἀλλ' ἢ ἀναγγελῶ σοι τὸ ἐντεταγμένον ἐν γραφῇ ἀληθείας καὶ οὐκ ἔστιν εἷς ἀντεχόμενος μετ' ἐμοῦ περί τούτων, ἀλλ' ἢ Μιχαὴλ ὁ ἄρχων ὑμῶν.

Εἰς τὴν Λιτήν, ἰδιόμελα.

Ἦχος α΄.

Τῶν ἄνω στρατιῶν Ἀρχιστάτηγον ὡς τῶν κάτω μερόπων ἰσχυρὸν προστάτην καὶ φύλακα, Μιχαὴλ τὸν Ἀρχάγγελον, ἀξιοχρέως μακαρίσωμεν· οὗτος γὰρ τοὺς προσφεύγοντας ὑπὸ τὴν σκέπην τῶν αὐτοῦ πτερύγων σῴζει ἐκ θανάτου αἰωνίου καὶ ζοφώδους κολάσεως· διὸ αὐτὸν ἐν πάσῃ περιστάσει ἐπικαλούμενοι αὐτοῦ ὑπὸ τὴν προστασίαν τιθέμεθα καὶ ποδηγεσίαν πρὸς βίον κρείττονα.

Ἦχος β΄.

Τὸν ὁσιώτατον Ἐκκλησιαρχὴν Ἄρχιππον, σάρκα σκληραγωγοῦντα, εὐχόμενον ἀσιγήτως, νηστεύοντα καὶ νήφοντα, ηὔφρανας τῇ διασώσει τοῦ ἐν Κολοσσαῖς Ναοῦ σου, ᾧ αὐτὸς διηκόνει, καὶ τὰ χείλη αὐτοῦ ἤνοιξας κραυγάζειν σοι· Ἀρχιστράτηγε τῶν οὐρανίων Νόων, ὁ διασῴζων ἐν ἀνάγκαις μερόπων τὸ γένος, ῥῦσαι ἡμᾶς κινδύνων τοὺς σὲ μεγαλύνοντας.

Ἦχος γ΄.

Τὸν ὀλετῆρα τοῦ Ἑωσφόρου καὶ φωστῆρα τοῦ οὐρανίου στερεώματος πάμφωτον, Μιχαὴλ τὸν Ἀρχιστράτηγον ὑμνήσωμεν, ὡς Πρωτάρχοντα τῶν εὐγνωμόνων Νόων καὶ ταπεινῶς αὐτῷ εἴπωμεν· Ὁ ἀποστελλόμενος εἰς ἀνθρώπων διακονίαν θεόθεν, βοήθει τοῖς σὲ μακαρίζουσι καὶ γενοῦ παραστάτης πάντων ἡμῶν ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως.

Ἦχος δ΄.

Δεῦτε, πιστῶν τὰ τάγματα Μιχαὴλ ἀνυμνήσωμεν τὸν Ἀρχάγγελον, τὸν ἀναδείξαντα τὸ ἐν Χώναις αὐτοῦ ἁγίασμα πηγὴν ἰαμάτων παντοίων· οὗτος γὰρ αὐτὸ ἐκ ποταμίου ῥεύματος διασώσας καὶ καταδείξας πᾶσι τὴν ταχίστην σου ἐπέμβασιν ἐν κινδύνοις πρὸς σωτηρίαν τῶν τιμώντων σε, ἐνίσχυσον καὶ ἡμᾶς θριαμβεῦσαι τὸν μισόκαλον καὶ σὺν σοὶ ἀπολαῦσαι τῆς ἀλήκτου μακαριότητος.

Δόξα. Ὁ αὐτός.

Τῆς μετανοίας ἱστίῳ ἐγκαθόρμισον λιμένι τῷ σωτηρίῳ Χριστοῦ τοῦ Παμβασιλέως τὴν οἰκτρὰν ψυχήν μου χωριζομένην τοῦ σώματος, Μιχαήλ, Ἀρχιστράτηγε ἀΰλων Νόων· παραμυθία γὰρ πέλων τῆς τελευταίας πνοῆς μου μὴ ἀπ' ἐμοῦ χωρισθείης, Ἀρχάγγελε, ἀλλ’ ἴσθι τότε βοηθός μοι εὐμενέστατος καὶ χειραγωγὸς τῆς ψυχῆς μου πρὸς ζωὴν τὴν αἰώνιον.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.

Χαίροις, φωτοειδὲς Μιχαήλ, τοῦ διαβόλου τῆς δυνάμεως δίωξις, μὴ φέροντος, Ταξιάρχα, ἀστραπηβόλον ὁρᾶν, τῆς μορφῆς σου φέγγος, Νόα πάμφωτε· ὑπόπτερε Ἄγγελε, λειτουργὲ τοῦ Παντάνακτος, ἀΰλων πάντων στρατιῶν Ἀρχιστράτηγε, ὁ ἀείποτε μέλπων ὕμνον τρισάγιον, ὡς ἀντιλήπτωρ εὔσπλαγχνος μερόπων συστήματος, ὑπὸ τὴν σκέπην σου σκέπε τοὺς ἀκλινῶς σε γεραίροντας καὶ σὴν

προστασίαν αἰτουμένους ἐν κινδύνοις καὶ περιστάσεσι.

Στίχ. Ὁ ποιῶν τοὺς Ἀγγέλους Αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς Αὐτοῦ πυρὸς φλόγα.

Χαίροις, ὁ διασώσας ταχὺ ἐν Κολοσσαῖς σεπτὸν Ναόν σου, Ἀρχάγγελε, ἐκ ῥεύματος ποταμίου τοῦ κατ' αὐτοῦ μιαροὶ στρέψαντος Ἀρχίππου νεωκόρου σου, τοῦ ἄγαν θεόφρονος καὶ σεπτοῦ σβέσαι θέλοντες ἀμέμπτου βίου φῶς, καὶ θεῖον ἁγίασμα καταστρέψαι σου, Μιχαὴλ Ἀρχιστράτηγε· Σὺ γὰρ ὁ σπεύδων πάντοτε φυλάξαι ἐκ πτώσεων καὶ συμφορῶν Χριστωνύμους σπεύσας τὸ ὕδωρ ἐχώνευσας ἐν πέτρᾳ, ἣν ξένως ἡ σὴ χάρις, Ταξιάρχα λαμπρέ, ἠκόντισεν.

Στίχ. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον Αὐτοῦ.

Χρύσου τοῦ ποταμοῦ τὴν ῥοὴν τῶν ζιζανίων ὁ σπορεὺς συνεβούλευσε τὸν Ἄρχιππον τοὺς φθονοῦντας κατ' ἐναντίον Ναοῦ στρέψαι καὶ πανσέπτου ἁγιάσματος, σεμνὸς προσμονάριο οὗ ὑπῆρχεν ὁ Ὅσιος σοῦ, Ταξιάρχα Μιχαήλ, ἀλλ' ἡ χάρις σου τάχος σπεύσασα ποταμοῦ ροῦν ἠκόντισε καὶ πέτραν διαῤῥήξασα αὐτὸν κατεχώνευσε καὶ σὸν Ναὸν παραδόξως ἔσωσε, θεῖε Ἀρχάγγελε, ὁ πάντας φυλάτων καὶ φρουρῶν τοὺς σοὺς ἱκέτας ἐν περιστάσεσι.

Δόξα. Ἦχος πλ. δ΄.

Ὁ τὸν τρισάγιον ὕμνον καθ' ἑκάστην ψάλλων τῇ Τριαδικῇ ἡμῶν Θεότητι, Μιχαὴλ Ἀρχάγγελε, καὶ τοὺς πιστοὺς προστατεύων ἐκ κινδύνων καὶ θλίψεων, ἐπάκουσον ἡμῶν νῦν δεομένων σου καὶ οὕτω βοώντων σοι· Ἀρχιστράτηγε τῶν Ἄνω Δυνάμεων, ἄνοιξον ἡμῶν τὰ χείλη δοξάζειν τὸν Κύριον τῆς δόξης καὶ ῥῦσαι δεινῶν περιστάσεων τοὺς σὲ μεγαλύνοντας.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Νῦν ἀπολύεις τὸ Τρισάγιον καὶ τὰ Ἀπολυτίκια.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Μιχαὴλ Ἀρχιστράτηγε, πέτραν ῥάβδῳ σου ῥήξας ἐχώνευσας ὕδωρ τοῦ ποταμοῦ θαυμαστῶς εἰς ὀπὴν τῆς γῆς καὶ τέμενος διέσωσας σὸν ἱερὸν ἐν Κολοσσαῖς τῆς Φρυγίας, εὐσεβῶν ὁ ὕδασι κατακλύσας σῆς προστασίας τοὺς δήμους ὁμολογοῦντας θείαν χάριν σου.

Δόξα. Ἕτερον Ὅμοιον.

Τῶν ἀΰλων Δυνάμεων Ἀρχιστράτηγε, ἀποστελλόμενον πνεῦμα διακονῆσαι πιστοῖς, Μιχαήλ, ὁ παρεστὼς τῷ Παντοκράτορι, φρούρει χορείας εὐσεβῶν καὶ Μονὴν διηνεκῶς, Ἀρχάγγελε, Ἀστερίου, ἐγκαυχωμένην σῇ σκέπῃ καὶ ἀντιλήψει τῇ ἀόκνῳ σου.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ, χαῖρε ἀχείμαστε λιμὴν καὶ ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν ποιητὴν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου.

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.

Προστάτα, βοηθέ, ἀντιλῆπτορ καὶ φύλαξ πιστῶν Χριστιανῶν, Μιχαήλ, πρωτοστάτα τῶν ἄνω δυνάμεων, μὴ ἐάσῃς με παίγνιον τοῦ ἀλάστορος τοῦ παμβεβήλου γενέσθαι, ἀλλ' ὁδήγησον τὸν σὸν ἱκέτην πρὸς δόμον ἀφθίτου λαμπρότητος.

Δόξα. Ὅμοιον.

Φερώνυμος Μονὴ τῆς σεπτῆς χάριτός σου κοσμοῦσα Ὑμηττοῦ παρυφὰς ἑορτάζει πανδήμως ἐπέτειον τοῦ ἐν Χώναις σου θαύματος, Ἀρχιστράτηγε, καὶ ὡς προστάτην καὶ ῥύστην μεγαλύνει σε ἐκ συμφορῶν καὶ κινδύνων, φωσφόρε Πρωτάγγελε.

Καὶ νῦν. Θεοτοκίον.

Προσάγαγε ἡμῶν ἐκτενεῖς ἱκεσίας Υἱῷ σου τῷ σεπτῷ, Παναγία Παρθένε, εὐσπλάγχνῳ

Παντάνακτι καὶ Κυρίῳ οἰκτίρμονι πάσης κτίσεως, καὶ μετανοίας ἀρχήν με τὸν ταλαίπωρον βαλεῖν ἀξίωσον δοῦλον τῆς σῆς ἀγαθότητος.

Μετὰ τὴν β΄ Στιχολογίαν Κάθισμα.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Πρωτάγγελε πάμφωτε τῶν στρατιῶν, Μιχαήλ, τῶν ἄνω, ἐξ ὕδατος ἀκατασχέτου ὁρμῆς Ναόν σου τὸν πάνσεπτον ἐν Κολοσσαῖς ὁ σώσας καὶ τὸν ἐκκλησιάρχην Ἄρχιππον κατευφράνας σῇ σεπτῇ ἐπεμβάσει, ἐν Κρίσεως ἡμέρᾳ ψυχὰς σῶσον προσφύγων σου.

Δόξα. Ὅμοιον.

Μορφὴν προσκυνήσωμεν τοῦ Μιχαὴλ εὐλαβῶς ἐν Μάνδρᾳ χριστώνυμοι τοῦ Ἀστερίου κλεινῇ, Λουκᾶς ἣν ἡγίασεν ῥείθροις αὐτοῦ δακρύων καὶ ἱδρώτων, ὁ θεῖος ἔφορος τοῦ Στειρίου, καὶ βοήσωμεν· Σπεῦσον, Ἀρχάγγελε, φρουρῆσαι ἡμᾶς βίου ἐν κλύδωσι.

Καὶ νῦν. Θεοτοκίον.

Φρουροῦσα τοὺς δούλους σου, Θεογεννῆτορ σεμνή, μὴ παύσῃ ἀείποτε τοὺς μελῳδοῦντας λαμπρῶς πληθὺν θαυμασίων σου, ἄχραντε Παναγία, εὐσυμπάθητε Μῆτερ πάντων τῶν Χριστωνύμων Μιχαὴλ εὐφημούντων τὸν θεῖον Ταξιάρχην, φρουρὸν κόσμου ἀνύστακτον.

Μετὰ τὸν Πολυέλεον Κάθισμα.

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Ναόν σου πάνσεπτον καὶ σὸν ἁγίασμα ὁρμῆς ἐξ ὕδατος ταχὺ διέσωσας σῷ ἀκοντίῳ, Μιχαήλ, τὴν πέτραν ὁ διαῤῥήξας καὶ χωνεύσας ὕδατα ἐν ὀπῇ ταύτης, ἔνδοξε Νόων Ἀρχιστράτηγε οὐρανίων, ὁ πάντοτε λυτρούμενος φθορᾶς τοὺς βοῶντας· Χαῖρε, Ἀρχάγγελε Κυρίου.

Δόξα. Ὅμοιον.

Πρωτάρχα ἔνδοξε Ἄνω Δυνάμεων, ταχέως σπεύδομεν πιστοὶ ἑκάστοτε εἰς Ἀστερίου τὴν Μονὴν τὴν χάριν σου προσκυνῆσαι, Μιχαὴλ Ἀρχάγγελε, Ὑμηττοῦ ἐν τοῖς ἄλσεσι καὶ φρουρόν σε κτήσασθαι ἐν κινδύνοις ἀνύστακτον, πρὸς ὃν ἐν εὐλαβείᾳ βοῶμεν· Χαῖρε, Ἀρχάγγελε Κυρίου.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου, ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων, καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου, ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Ὁ ποιῶν τοὺς Ἀγγέλους Αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς Αὐτοῦ πυρὸς φλόγα.

Στίχ. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Κύριε, ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.

Εὐαγγέλιον ζήτει ἐν τῷ Ὄρθρῳ τῆς η΄ Νοεμβρίου.

Δόξα. Ταῖς τοῦ Ταξιάρχου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Τὸν ἐξάρχοντα τοῦ νοητοῦ διακόσμου, εἰς διακονίαν βροτῶν οὐρανόθεν ἀποστελλόμενον, Μιχαὴλ τὸν Ἀρχιστράτηγον, παραδόξως τὸν Ναὸν αὐτοῦ ἐν Χώναις ἐξ ὁρμῆς ὑδάτων διασώσαντα, εὐφημήσωμεν ἀξιοχρέως οὕτω λέγοντες· Πυριφλεγὲς καὶ θεοείκελον ἄϋλον πνεῦμα, διάσωσον ἐξ ἐπιβουλῆς τοῦ ἀλλοτρίου τοὺς σὲ ἐν ὕμνοις μεγαλύνοντας, Ἀρχάγγελε.

Εἶτα ὁ Κανὼν τοῦ Ἀρχαγγέλου, οὗ ἡ Ἀκροστιχίς· Μιχαήλ, βοήθει μοι ἐν ἡμέρᾳ Κρίσεως. Χ.Μ.Μ.

ᾨδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Μεγίστου διάσωσμα ἐν Κολοσσαῖς ἁγιάσματος, Ὑψίστου Ἀρχάγγελε, φωτοειδὲς Μιχαήλ, φερωνύμου σου, μὴ παύσῃ ἐποπτεύων ἡμᾶς καὶ ῥυόμενος πάντας στενώσεων.

Ἰσχὺν ἐνδεικνύμενος τὴν θεϊκήν σου, Ἀρχάγγελε, ἠκόντισας ῥεύματα τοῦ ποταμοῦ,

Μιχαήλ, πόῤῥω τάχιστα καὶ ἐξ αὐτῶν Ναόν σου σεπτόν, Ἀρχιστράτηγε Νόων, διέσωσας.

Χαρᾶς νεωκόρου σου Ἀρχίππου θείου ἐνέπλησας καρδίαν, Ἀρχάγγελε τῶν νοητῶν στρατιῶν, ἁγιάσματος τοῦ σοῦ τῇ διασώσει σεπτῇ ἐπεμβάσει σου, Ἄρχον οὐράνιε.

Θεοτοκίον.

Ἀπείρανδρε Δέσποινα, Μῆτερ τοῦ Λόγου τοῦ Κτίσαντος, εὐσπλάγχνου Παντάνακτος καὶ Πλαστουργοῦ, οἱ πιστοὶ σὲ γεραίροντες ὡς θαυμασίων κέρας δοξάζομεν Τόκον σου τὸν πανσεβάσμιον.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Ἡγίασεν ὁ Ἐκκλησιάρχης Ναόν σου σεπτὸν ἐν Κολοσσαῖς, αὐτοῦ ἱδρῶσιν Ἄρχιππος, φωτολαμπὲς Ἀρχάγγελε, ὅν, Μιχαήλ, ἐκ ῥεύματος τοῦ ποταμίου διέσωσας.

Λαμπρὲ Μιχαήλ, βροτῶν τὸ γένος ἀεὶ ὁ ῥυόμενος δεινῶν καὶ συμφορῶν καὶ θλίψεων, ἠκόντισας τὰ ὕδατα καὶ ἐξ αὐτῶν διέσωσας ὁρμῆς Ναόν σου τὸν πάνσεπτον.

Βοήθει πιστοῖς ἐν τοῖς ἀγῶσι τοῦ βίου, Στρατάρχα Μιχαήλ, ὁ δείξας σὸν ἁγίασμα ἐν Κολοσσαῖς ἀκένωτον πηγὴν θαυμάτων, πάμφωτε τῶν οὐρανῶν Ἀρχιστράτηγε.

Θεοτοκίον.

Ὀμβρίζεις θεόθεν σοῖς οἰκέταις ἀφθόνως, Παρθένε, ὑετὸν σῆς χάριτος τοῖς σπεύδουσιν ἐν καύματι σῇ χάριτι παθῶν καὶ μεγαλύνουσι τὸ πλῆθος τῶν θαυμασίων σου.

Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Ἀγαλλίαμα σεπτὸν Ἀρχίππου τοῦ θεόφρονος ἐκκλησιάρχου, Μιχαήλ, ἐν Κολοσσαῖς περιλάμπρου σου Ναοῦ καὶ πάντων φρουρὲ τῶν ὑμνούντων σε καὶ προστρεχόντων σῇ χάριτι, ἔσωσας ἐκ τοῦ ὕδατος ὁρμῆς ποταμοῦ ἁγίασμα τὸ σόν, ὁ συμφορῶν ἡμᾶς ῥυόμενος.

Δόξα. Ὅμοιον.

Ἀρχιστράτηγε ἀΰλων Νόων, πολεμήτορος παντὸς ὀλέτα καὶ πιστῶν θριαμβευτὰ τῇ σῇ χάριτι, τοὺς προσιόντας εἰς Μάνδραν σου πάνσεπτον τοῦ Ἀστερίου, Λουκᾶς ἣν ἐδόμησεν ὁ θειότατος Στειρίου φρουρὸς καὶ ἔφορος, εὐλόγει καὶ περίσκεπε ἀείποτε.

Καὶ νῦν. Θεοτοκίον.

Καταφύγιον ἐμπεριστάτων, ὀλετήριον ἀντικειμένου καὶ θερμὴ παραμυθία τῶν δούλων σου ἐν λυπηροῖς καὶ δειναῖς περιστάσεσι, θεόθεν πέμψον ἀφθόνως τὴν χάριν σου τοῖς ἀείποτε ἐκθύμως σε μακαρίζουσιν ὡς φρέαρ, Θεοτόκε, ἀκεσώδυνον.

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Ἡ ὁρμὴ οὐκ ἠδυνήθη ποταμῶν καταστρέψαι σου τὸν Ναὸν τὸν θεῖον ἐν ταῖς Κολοσσαῖς, Ἀρχιστράτηγε, ὃν πρὸς αὐτὸν οἱ ἐχθροὶ Ἀρχίππου ἔστρεψαν πρὸς ἐδάφισιν αὐτοῦ, φωσφόρε Ἀρχάγγελε.

Θαυμαστῶς σῷ ἀκοντίῳ, Μιχαήλ, πέτραν ἔτρωσας ἔμπροσθεν Ναοῦ σου καὶ εἰς τὴν ὀπήν, ἥνπερ ἤνοιξας τῶν ποταμῶν πάντα ὕδατα ἐχώνευσας, ἃ οἱ ἄπιστοι κατὰ τοῦ Οἴκου σου ἔστρεψαν.

Ἐν Ἱεραπόλει κόρην τοῦ πλουσίου ἰάτρευσας ἐκ τῆς ἀφωνίας, Μιχαήλ, ἐλθοῦσαν εἰς Οἶκόν σου ἐν Κολοσσαῖς, ἧς γεννήτωρ σοι περίλαμπρον ἀνεδόμησεν αὐτὸν ἐκ βάθρων, Ἀρχάγγελε.

Θεοτοκίον.

Ἱλαστήριον τοῦ κόσμου, ἀγλαὴ Μητροπάρθενε, σὲ ὑμνολογοῦμεν οἱ πιστοὶ ὡς πάντων διάσωσμα βροτῶν καὶ τεῖχος καὶ σκέπην καὶ κραταίωμα τῶν ἐν ᾄσμασι δοξολογούντων τὸν Τόκον σου.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Μεγίστων, Ἀρχάγγελε, θαυμάτων ὤφθης πρόξενος, Στρατηγέτα Νόων οὐρανίων, ὁ Ἑωσφόρου, φωτοειδὲς Μιχαήλ, τὴν πτῶσιν ἰδὼν καὶ εὐθαρσῶς «στῶμεν τῷ Θεῷ καλῶς» ἐκβοήσας , πανθαύμαστε.

Ὁ ἔνθεος Ἄρχιππος, Ναοῦ σου προσμονάριος ἐν ταῖς Κολοσσαῖς ἰδών σε ξένως ῥοὴν ἐκτρέπων τοῦ ποταμοῦ, Μιχαήλ, καὶ σῴζων ἁγίασμα τὸ σόν εὐλαβῶς ἀνέκραζε· Χαῖρε, Ἄρχον οὐράνιε.

Ἰάσεων μέλαθρον ἐν Κολοσσαῖς ὁ Οἶκός σου, Μιχαήλ, ἐπώφθη, Ταξιάρχα, δεινῶς νοσούντων καὶ ἀσθενούντων ἰσχύς, Ἀρχάγγελε θεῖε, ἐναργῶς πάντων προσιόντων σοι ὁ τὰς νόσους ἰώμενος.

Θεοτοκίον.

Ἐπάκουσον δούλων σου πιστῶς καταφευγόντων σοι, Κεχαριτωμένη Θεοτόκε, μεγαλυνόντων φωτολαμπῆ Μιχαήλ, Ἀρχάγγελον ἄνω στρατιῶν, καὶ ὑμνούντων πλῆθός σου θαυμασίων, πανύμνητε.

Ὠδὴ ς΄. Τὴν θείαν ταύτην.

Ναὸν σῆς χάριτος ἔσωσας ἐκ ῥεύματος ὑδάτων, Ἀρχάγγελε, καὶ τὸν πανόσιον ἐκκλησιάρχην κατηύφρανας αὐτοῦ, ἀΰλων Νόων Ἔξαρχε, Ἄρχιππον.

Ἡ τῆς Φρυγίας ὁμήγυρις ὁμοῦ καὶ τῆς Λυκίας, Ἀρχάγγελε, ὕμνοις γεραίρει σε,φωτοειδὲς Ἀρχιστράτηγε, ὡς Κολοσσῶν Ναοῦ σου σεπτοῦ διάσωσμα.

Μανίας ῥῦσαι, Ἀρχάγγελε, ἡμᾶς τοῦ παμβεβήλου ἀλάστορος, φωτοειδέστατε, ὁ ἐξ ὑδάτων ῥυσάμενος ὁρμῆς σῷ ἀκοντίῳ τὸ σὸν ἁγίασμα.

Θεοτοκίον.

Ἐλέους ῥεῖθρον ἀστείρευτον καὶ φρέαρ οἰκτιρμῶν, Μητροπάρθενε, πάντας οἰκέτας σου, Θεογεννῆτορ πανύμνητε, μὴ παύσῃ ἐλεοῦσα καὶ προστατεύουσα.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Ἐν Κολοσσαῖς Φρυγίας ξένως διασώσαντα Ναοῦ αὐτῷ φερωνυμοῦντα ἐκ τοῦ ῥεύματος ποταμῶν ἐγκωμιάσωμεν μελιρρύτοις ὑμνῳδίαις, Μιχαὴλ τὸν Ἀρχιστράτηγον, ὡς προστάτην Χριστωνύμων ἑτοιμότατον, πόθῳ κράζοντες· Χαίροις, Νόων ὁ Πρώταρχος.

Ὁ Οἶκος.

Ἅγιε Ταξιάρχα, Μιχαήλ, τὸν Ναόν σου διέσωσας ὁρμῆς ἐξ ὑδάτων καὶ κατηύφρανας τὸν ταπεινὸν νεωκόρον τούτου, εὐλαβῆ Ἄρχιππον, οὗ ἤνοιξας, Ἀρχάγγελε, τὰ χείλη εὐλαβῶς βοᾶν σοι·

Χαῖρε, ὁ πρώταρχος Ἀρχαγγέλων· χαῖρε, ὁ ἔξαρχος θείων Νόων.

Χαῖρε, ὁ προστάτης βροτῶν ὁ ἀνύστακτος· χαῖρε, διασώστης τοῦ σοῦ ἁγιάσματος.

Χαῖρε, ὅτι σκέπεις ἅπαντας εὐσεβεῖς ἐν συμφοραῖς· χαῖρε, ὅτι ῥεῦμα ἔστρεψας ποταμοῦ ἐν Κολοσσαῖς.

Χαῖρε, ἡ τοῦ Ἀρχίππου χαρμονὴ τοῦ Ὁσίου· χαῖρε, ὁ τοῦ Δεσπότου ὑπηρέτης τοῦ θείου.

Χαῖρε, θαυμάτων ξένων ὁ πρόξενος· χαῖρε, ἀνθρώπων φύλαξ ὁ ἄγρυπνος·

Χαῖρε, πιστῶν βοηθὸς ἐν τῇ Κρίσει· χαῖρε, ἡμῶν ἀρωγὸς ἐν ἀγῶσι.

Χαίροις, Νόων ὁ Πρώταρχος.

Συναξάριον.

Τῇ ς΄ τοῦ αὐτοῦ μηνός, μνήμην ἐπιτελοῦμεν τοῦ ὑπερφυοῦς θαύματος τῆς διασώσεως ὑπὸ τοῦ Ἀρχιστρατήγου Μιχαὴλ ἐκ τῶν ποταμίων ὑδάτων τοῦ ἐν Κολοσσαῖς τῆς Φρυγίας Ναοῦ φερωνύμου τοῦ Ταξιάρχου ἱεροῦ Προσκυνήματος.

Στίχοι.

Ποτάμιον χωνεύσας εἰς ὀπὴν πέτρας, ὁρμήν,
Μιχαήλ, διέσωσας Ναόν σου.

Ὁ ἔνδοξος Ἀρχιστράτηγος Μιχαὴλ ὁ Πρωτάγγελός ἐστι τῶν οὐρανίων Νόων ἀποστελλόμενος θεόθεν πρὸς βροτῶν διακονίαν καὶ σωτηρίαν. Ἐν τῷ ἱερῷ αὐτοῦ ἁγιάσματι ἐν Κολοσσαῖς τῆς Φρυγίας πλεῖστα ἐτελοῦντο θαύματα καθ' ἑκάστην καὶ ὁ ἐκκλησιάρχης αὐτοῦ Ὅσιος Ἄρχιππος, ἀνὴρ ταπεινὸς καὶ φιλάρετος διῆγε τὸν βίον νηστεύων, σκληραγωγούμενος, ἀγρυπνῶν καὶ νήφων. Φθόνῳ τηκόμενοι μισόχριστοι ἐπὶ τοῖς τελουμένοις θαύμασιν ἐν τῷ Ναῷ καὶ ἐπὶ τῇ ὁσιακῇ βιοτῇ τοῦ Ἀρχίππου τὸν παραρρέοντα ποταμὸν ἐβουλεύσαντο κατὰ τοῦ Ναοῦ στρέψαι, ὥστε καὶ αὐτὸν κατακλῦσαι καὶ τὸν Ἄρχιππον ἀπολέσαι. Φανεὶς τότε ὁ θεῖος Ἀρχιστράτηγος καὶ θαρρεῖν ἐγκελευσάμενος τῷ Ἀρχίππῳ πλήσσει ῥάβδῳ τὴν πέτραν καὶ πάροδον ἐν αὐτῇ ποιήσας τοῦ ποταμοῦ ἐξ ἐκείνου μέχρι καὶ τοῦ νῦν παροδεύων ὁρᾶται χωνευόμενος.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Ῥοῦν μετέστρεψας ποτάμιον, Ἀρχάγγελε, καὶ τὸ ἁγίασμα τὸ σὸν ἐν ταῖς Κολοσσαῖς διέσωσας τάχιστα, Ἄρχον Πρωτάγγελε, ἀγαλλίαμα Ἀρχίππου, νεωκόρου σου, Μιχαήλ, πνευματοφόρου.

Ἀρχιστράτηγε τῶν νοητῶν δυνάμεων, ὁ σπεύδων πάντοτε εἰς ἀρωγὴν εὐσεβῶν, βοήθει ἐν κλύδωσι τοῖς ὑμνηπόλοις σου πίστει κράζουσι· Χαῖρε, φρουρὲ καὶ πρόμαχε, Μιχαήλ, τῶν ἱκετῶν σου.

Κρήνην ἔγνωμεν σέ, Μιχαὴλ Ἀρχάγγελε, πολλῶν ἰάσεων, Ναόν σου ἐν Κολοσσαῖς σῆς χάριτος χείμαῤῥον τὸν καταδείξαντα, Ἀρχιστράτηγε, αὐτὸν ὁρμῆς ἐξ ὕδατος ποταμοῦ ὁ διασώσας.

Θεοτοκίον.

Ῥῦσαι θλίψεων καὶ συμφορῶν τοὺς δούλους σου σὲ μεγαλύνοντας, Θεογεννῆτορ σεμνή, καὶ πίστει προστρέχοντας τῇ ἀντιλήψει σου, ἀειπάρθενε, Χριστιανῶν κραταίωμα καὶ ἑτοίμη προστασία.

ᾨδὴ η´. Παῖδας εὐαγεῖς.

Ἴσθι ἐν Ἐτάσεως ἡμέρᾳ συνήγορος τῶν πιστῶν ὑπερασπίσεως, Μιχαὴλ Ἀρχάγγελε, τῶν ἐξαιτουμένων σου τὴν χάριν καὶ τὴν εὔνοιαν, φωτολαμπέστατε, ἁπάντων στρατιῶν οὐρανίων Ἔξαρχε καὶ φύλαξ τῶν ἐν τῇ γῇ οἰκούντων.

Σὲ τὸν διασώσαντα Ναόν σου ἐκ ῥεύματος ποταμίου μεγαλύνοντες, Μιχαὴλ Ἀρχάγγελε, καὶ ψυχὴν εὐφράναντα Ἀρχίππου τοῦ θεόφρονος, καθικετεύομεν· Ἀρχάγγελε λαμπρέ, μὴ ἐάσῃς ἕρμαια γενέσθαι Χριστιανοὺς ἐχθίστου.

Ἔσχον σε, Ἀρχάγγελε, προστάτην χορεῖαι Ἱεραπόλεως χριστώνυμοι, Κολοσσῶν οἱ ἔνοικοι καὶ Φρυγίας σύλλογοι ἐν μάχαις ἀπροσμάχητον καὶ ἀντιλήπτορα ἐν ζάλαις ταῖς τοῦ βίου καὶ δίναις, Μιχαὴλ Ἐξάρχον τῶν οὐρανίων Νόων.

Θεοτοκίον.

Ὡς παντελεήμονος Μητέρα τοῦ Λόγου Θεοῦ Ὑψίστου σε ἀείποτε πάντες μακαρίζομεν, Ἐλεοῦσα Δέσποινα, καὶ σπεύδοντες σῇ χάριτι ἐν περιστάσεσι βοῶμέν σοι· Ἐξάρπασον τάχος λυπηρῶν σοὺς δούλους, ἁγνὴ Θεογεννῆτορ.

ᾨδὴ θ´. Ἅπας γηγενής.

Σῶσον ἐκ φθορᾶς πιστῶν τὰ συστήματα, νῦν μεγαλύνοντα τὸ ἐν Χώναις θαῦμά σου, δι' οὗ Ναόν σου σεπτὸν διέσωσας ἐκ ποταμίου ῥεύματος, λαμπρὲ Ἀρχάγγελε, Πρωτοστάτα Μιχαήλ, ὁ τάχιστος τῶν βροτῶν βοηθὸς ἐν κακώσεσι.

Εὕροιμι τὴν σὴν μορφήν, Ἀρχιστράτητε, ἐν τοῦ θανάτου μου ὥρᾳ καθορῶσάν με τῷ σῷ ἱλέῳ, φωσφόρε, ὄμματι καὶ ὄψεις ἐκδιώκουσαν δαιμόνων τάχιστα, Ταξιάρχα Μιχαήλ, Ἀρχάγγελε, τῶν βροτῶν παραμύθιον ἄριστον.

Χαῖρε, Μιχαήλ, ὁ ἀποστελλόμενος πρὸς ἀπολύτρωσιν τῶν βροτῶν συστήματος ἐκ πάσης βλάβης τοῦ παναλάστορος ἐξ οὐρανῶν, Ἀρχάγγελε, ὁ τοῦ Παντάνακτος θείῳ θρόνῳ παρεστὼς ὁλόφωτος, τοῦ παρέχοντος πᾶσι τὸ ἔλεος.

Μέμνησο ἡμῶν ἐν Χώναις ὑμνούντων σου θαῦμα παράδοξον, Μιχαὴλ Ἀρχάγγελε, δι' οὗ Ναόν σου σεπτὸν διέσωσας χωνεύσας ξένως ὕδατα εἰς πέτραν, χάρις σου ἣν ἡ θεία ἔσχισεν, φωτόλαμπρε, διὰ τοῦ αἰχμηροῦ ἀκοντίου σου.

Θεοτοκίον.

Μῆτερ τοῦ Θεοῦ, πιστῶν καταφύγιον ἐν περιστάσεσι, ῥύου βίου θλίψεων καὶ δυσθυμίας τοὺς ἀνυμνοῦντάς σε καὶ Μιχαὴλ γεραίροντας τὰ ξένα θαύματα καὶ ταχίστην τὴν αὐτοῦ ἐπέμβασιν πρὸς διάσωσιν πάντων προσφύγων σου.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ναόν σου τὸν πανίερον ἐν Κολοσσαῖς διέσωσας ἐκ ποταμίων ὑδάτων, αὐτὰ χωνεύσας ἐν πέτρας ὀπῇ, ἥνπερ ἀκόντιον σὸν θαυμαστῶς διήνοιξεν, ὦ Μιχαὴλ Ἀρχάγγελε, τῶν Νόων τῶν οὐρανίων ἁπάντων ὁ Πρωεξάρχων.

Θεοτοκίον.

Θεογεννῆτορ ἄχραντε, Κυρία Μητροπά-ρθενε, ἡ τοὺς πιστοὺς ἐλεοῦσα εἰς τοὺς αἰῶνας αἰώνων, κατάπεμψον τοῦ Τόκου σου τὸ ἔλεος τὸ ἄμετρον ἡμῖν σε μακαρίζουσιν καὶ Μιχαὴλ ἀνυμνοῦσι τὰ θαυμαστὰ Ταξιάρχου.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Ἠκόντισας ῥεῦμα ποταμοῦ, Μιχαὴλ Ἀρχάγγελε, ἐν Κολοσσαῖς καί, ὢ θαύματος, πέτραν διέῤῥηξας καὶ ἅπαν τὸ ὕδωρ εἰς ὀπὴν ἐχώνευσας Ναόν σου οὕτω σώσας τὸν ἅγιον, φωτολαμπέστατε, ὁ φρουρὸς καὶ τὸ ἀγλάϊσμα τοῦ Ἀρχίππου, Ὁσίου παμμάκαρος.

Φωστήρ, Ταξιάρχα Μιχαήλ, θείου στερεώματος, ὁ τοῦ Παντάνακτος λάμψεσι, μάκαρ, θεούμενος ἐν μεθέξει ὄντως τρισαυγεῖ τὴν ἔλλαμψιν ἀπαύστως χορηγεῖς φωτοδότιδα πᾶσι καθεύδουσιν ἐν σκιᾷ τῆς ἀπογνώσεως παραδόξως, λαμπρέ, θαυμαζόμενος.

Ἐξάρχον τῶν Νόων, Μιχαήλ, οὐρανοῦ, ὁ οἶκός σου ἐν Κολοσσαῖς ὁ πανίερος καὶ τὸ ἁγίασμα ἐν αὐτῷ ἐδείχθη ἰατρεῖον ἄμισθον νοσούντων ἀλγεινῶς, Ἀρχιστράτηγε, Ἱεραπόλεως ὁ ποτὲ παιδίσκην ἄλαλον ἀναδείξας, Ἀρχάγγελε, εὔλαλον.

Φωτὸς πρωτοφώτου, Μιχαήλ, χῦμα καὶ διάκονε τρισυποστάτου Θεότητος, χαρὰν ἀέναον τοῖς ἐπιποθοῦσιν ἀρετῶν ἀνέρχεσθαι τὴν κλίμακα ταχύ, ἐπιβράβευσον καὶ σὴν βοήθειαν ἐν τῇ ὥρᾳ τῆς Ἐτάσεως, Ταξιάρχα, μερόπων ὑπέρμαχε.

Δόξα. Ἦχος πλ. α΄.

Τὸν Πρωτοστάτην Ἄγγελον καὶ πιστῶν ἀντιλήπτορα πάσης θλίψεως καὶ δεινῶν ἁμαρτημάτων ἐλευθεροῦντα τοὺς εἰλικρινῶς αὐτὸν ἀνυμνοῦντας, Μιχαήλ, τὸν Ταξιάρχην τῶν Ἄνω Δυνάμεων, εὐφημήσωμεν κράζοντες· Ὁ φύλαξ καὶ πρόμαχος παντὸς Χριστωνύμου καὶ ἐν ὥρᾳ θανάτου βοηθὸς εὐμενέστατος, πρόσδεξαι ἡμῶν τὰς ἐντεύξεις καὶ ῥῦσαι δεινῆς κολάσεως τοὺς προστρέχοντάς σοι, Ἀρχιστράτηγε.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος, τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγήν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙᾼ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Αρχαγγέλου ἡ γ΄ καὶ ἡ ϛ΄ ᾠδή. Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τῇ η΄ Νοεμβρίου.

Κοινωνικόν.

Ὁ ποιῶν τοὺς Ἀγγέλους Αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς Αὐτοῦ πυρὸς φλόγα. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Χαίροις, Ἀρχιστράτηγε Μιχαήλ, ὁ σῇ ῥάβδῳ τρώσας γῆν καὶ ὕδατα ποταμῶν θαυμαστῶς χωνεύσας ἐν δημιουργηθείσῃ ὀπῇ πρὸς τοῦ Ναοῦ σου ξένην διάσωσιν.

Ἕτερον.

Χαίροις, Ἀστερίου Μονῆς φρουρός, Μιχαὴλ Στρατάρχα, θαυμασίων ὁ ποταμός, χαίροις, ὁ προστάτης ἁπάντων χριστωνύμων ἐν μάχαις κατ' ἐχθίστου, θεῖε Ἀρχάγγελε.

Δίστιχα.

Πορφύριον, Μιχαήλ, σκέπε, κραυγάζει σὺν Ἀγγέλῳ, Ταξιάρχα, Χαραλάμπης.

Περίσκεπε, Μιχαὴλ Ἀρχιστράτηγε, Ἀλέξιον σεμνόν, Χαραλάμπης ψάλλει.